εἰ δ’ εἰϲ ἔμ’ ἡμάρτηκεν, αἰϲθέϲθαι μ’ ἔδει.
ἀλλ’ ἀγνοῶ δή, τυχὸν ἴϲωϲ ἄφρων ἐγὼ
οὖϲ’· οὐκ ἂν ἀντείπαιμι· καίτοι γ’, ὦ πάτερ,
εἰ τἆλλα κρίνειν ἐϲτὶν ἀνόητον γυνή,
περὶ τῶν γ’ ἑαυτῆϲ πραγμάτων ἴϲωϲ φρονεῖ.
ἔϲτω δ’ ὃ βούλει τοῦτο· τί μ’ ἀδικεῖ λέγε.
ἔϲτ’ ἀνδρὶ καὶ γυναικὶ κείμενοϲ νόμοϲ,
τῶι μὲν διὰ τέλουϲ ἣν ἔχει ϲτέργειν ἀεί,
τῆι δ’ ὅϲ’ ἂν ἀρέϲκηι τἀνδρί, ταῦτ’ αὐτὴν ποεῖν.
γέγονεν ἐκεῖνοϲ εἰϲ ἔμ’ οἷον ἠξίουν
ἐμοί τ’ ἀρέϲκει πάνθ’ ἃ κἀκείνωι, πάτερ.
ἀλλ’ ἔϲτ’ ἐμοὶ μὲν χρηϲτόϲ, ἠπόρηκε δέ,
ϲὺ δ’ ἀνδρί μ’, ὡϲ φήιϲ, ἐκδίδωϲ νῦν πλουϲίωι,
ἵνα μὴ καταζῶ τὸν βίον λυπουμένη.
καὶ ποῦ τοϲαῦτα χρήματ’ ἐϲτίν, ὦ πάτερ,
ἃ μᾶλλον ἀνδρὸϲ εὐφρανεῖ παρόντα με;
ἢ πῶϲ δίκαιόν ἐϲτιν ἢ καλῶϲ ἔχον
τῶν μὲν ἀγαθῶν με τὸ μέροϲ ὧν εἶχεν λαβεῖν,
τοῦ ϲυναπορηθῆναι δὲ μὴ λαβεῖν μέροϲ;
φέρ’ ἐὰν ὁ νῦν με λαμβάνειν μέλλων ἀνήρ—
ὃ μὴ γένοιτο, Ζεῦ φίλ’, οὐδ’ ἔϲται ποτέ,
οὔκουν θελούϲηϲ ⟨γ’⟩ οὐδὲ δυναμένηϲ ἐμοῦ—
ἂν οὗτοϲ αὖθιϲ ἀποβάληι τὴν οὐϲίαν
ἑτέρωι με δώϲειϲ ἀνδρί; κᾆιτ’ ἐὰν πάλιν
ἐκεῖνοϲ, ἑτέρωι; μέχρι πόϲου τὴν τῆϲ τύχηϲ,
πάτερ, δὲ λήψει πεῖραν ἐν τῶι ’μῶι βίωι;
ὅτ’ ἦν ἐγὼ παῖϲ, τότε ϲ’ ἐχρῆν ζητεῖν ἐμοὶ
ἄνδρ’ ὧι με δώϲειϲ· ϲὴ γὰρ ἦν τόθ’ αἵρεϲιϲ.
ἐπεὶ δ’ ἅπαξ ἔδωκαϲ, ἤδη ’ϲτιν, πάτερ,
ἐμὸν ϲκοπεῖν τοῦτ’, εἰκότωϲ· μὴ γὰρ κακῶϲ
κρίναϲ’ ἐμαυτῆϲ τὸν ἴδιον βλάψω βίον.